+ Epictetus K
113240. b. 43

EPICTETI

ENCHIRIDIUM.

OXONIÆ:

TYPOGRAPHIS CLARENDONIANIS

RECUSUM, M DCC LXXXI.

EPICTETI
ENCHIRIDION

OXONIÆ

TYPOGRAPHUS CLARENDONIANUS

M.DCC.LXXXI.

FIDEI ET PATROCINIO

VIRORUM VENERABILIUM,

PRÆSIDIS ET SOCIORUM,

COLL. MAGD. OXON.

EPICTETUM

COMMENDAT

THOMAS WALDGRAVE, S.T.P.

FRATER EMERITUS.

FIDEI ET PATROCINIO

VIRORUM VENERABILIUM,

PRÆSIDIS ET SOCIORUM,

COLL. MAGD. OXON.

E P I C T E T U M

COMMENDAT

THOMAS WALDGRAVE, S.T.P.

FRATER EMERITUS.

ΕΠΙΚΤΗΤΟΥ
ΕΓΧΕΙΡΙΔΙΟΝ.

ΚΕΦ. Ι.

ΤΩΝ ὄντων τὰ μέν ἐστιν [1]ἐφ' ἡμῖν, τὰ δὲ [2]οὐκ ἐφ' ἡμῖν. Ἐφ' ἡμῖν μὲν, [3]ὑπόληψις, [4]ὁρμὴ,

1 ἐφ' ἡμῖν, nostratia.

2 οὐκ ἐφ' ἡμῖν, peregrina.

3 ὑπόληψις, perceptio veri et falsi; boni et mali.

4 ὁρμὴ, principium et origo volendi et aversandi: primus motus, qui noster est, sed non in nostra potestate: non possumus non affici. Possumus autem, cunctando, moderari, aut regere: aut, si volumus, perimere hos motus animorum.

5 ὄρεξις, ἔκκλισις· καὶ ἐπὶ λόγῳ, ὅσα 6 ἡμέτερα ἔργα. 7 Οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαί· καὶ ἐπὶ λόγῳ, ὅσα οὐκ ἡμέτερα ἔργα.

5 ὄρεξις, amor. ἔκκλισις, faſtidium.

6 ἡμέτερα ἔργα, actiones et paſſiones animi.

7 οὐκ ἐφ' ἡμῖν, accidentia; quæ patimur extra, non quæ façimus.

ΚΕΦ. 2.

ΚΑΙ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, 1 ἀκώλυτα, 2 ἀπαρεμπόδιστα. Τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια.

1 ἀκώλυτα, quæ ab aliis inhiberi nequeant, ſui juris.

2 ἀπαρεμπόδιστα, vel in compedibus libera.

ΚΕΦ. 3.

ΜΕμνησο ὧν, ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ, καὶ θεοὺς καὶ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστίν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινί, ἄκων πράξεις οὐδέν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐκ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ.

1 ἐχθρὸν, quem odio prosequaris.

ΚΕΦ. 4.

Τηλικούτων ὧν ἐφιέμεθα, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν· ἀλλὰ [1]τὰ μὲν ἀφιέναι παντελῶς, [2]τὰ δὲ ὑπερτίθεσθαι πρὸς τὸ παρόν. Ἐὰν δὲ καὶ ταῦτα θέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι· πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων εὐδαιμονία καὶ ἐλευθερία περαίνεται.

1 τὰ μὲν, inhoneſta, aliena.
2 τὰ δὲ, ſublimia, difficillima.

ΚΕΦ. 5.

ΕΥθὺς οὖν πάσῃ φαντασίᾳ πρόχειρα μελέτα ὑπολέγειν, [1]ὅτι, φαντασία εἶ, καὶ οὐ πάντως τὸ [2]φαινόμενον. Ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε τούτοις τοῖς κανόσιν, οἷς ἔχεις· πρώτῳ δὲ τούτῳ, ὃ μάλιστα, Πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. Κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, [3]διότι οὐδὲν πρός σε.

1 ὅτι, ſcilicet, videlicet, ut.

2 φαινόμενον, res, cujus imago es.

3 διότι, promptum ſit dictu, Alienum eſt; ergo, non mea res agitur: iſtic nec meto, nec ſero.

ΚΕΦ. 6.

Μέμνησο ὅτι ὀρέξεως μὲν [1] ἐπαγγελία, τὸ ἐπιτυχεῖν ἡ ὀρέγῃ· ἐκκλίσεως δὲ ἐπαγγελία, τὸ μὴ ἐμπεσεῖν ἐκείνῳ ὃ ἐκκλίνεις. Καὶ [2] ὁ μὲν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐκκλίσει ᾧ ἐπίπτων, δυστυχής. Ἂν μὲν οὖν μόνα ἐκκλίνῃς [3] τὰ παρὰ φύσιν τῶν ὄντων, οἷς ἐνδέχεται ὧν ἐκκλίνεις ἐμπεσεῖν. Νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις.

1 ἐπαγγελία, significatio voluntatis, poſtulatio, petitio modeſta et urbana.

2 ὁ μὲν ὀρέξει, is qui ſperat.

3 τὰ παρὰ φύσιν, noxia, exitioſa.

ΚΕΦ. 7.

Ἄρον ἔν τινι ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μεταθὲς ἐπὶ τὰ κατὰ φύσιν τῶν ἐφ' ἡμῖν· τινὶ ὄρεξιν δὲ παντελῶς ἐπὶ τῷ παρόντι ἄνελε. Ἂν δὲ καὶ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινος, [1] ἀτυχεῖν ἀνάγκη· τῶν δ' ἐφ' ἡμῖν, ὅσων [2] ὀρέγεσθαι καλὸν ἂν, [3] οὐδὲν οὐδέπω σοὶ πάρεστι. Μόνῳ δὲ τῷ ὁρμᾶν καὶ ἀφορμᾶν χρῶ, κόσμως

1 ἀτυχεῖν ἀνάγκη, Honores, opes, divitiæ, militantium ſunt, non vacantium philoſophiæ.

2 ὀρέγεσθαι καλὸν, cum ratione, poſt rerum naturam perſpectam.

3 οὐδέπω, tirocinio ætatis.

μέν τοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

ΚΕΦ. 8.

Ἐφ' ἑκάστῳ τῶν ψυχαγωγούντων, ἢ χρείαν παρεχόντων, ἢ σεργομένων, μέμνησο ὑπολέγειν ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρχόμενος. Ἂν χύτραν σέργῃς, ὅτι χύτραν σέργω· κατεαγείσης γὰρ αὐτῆς οὐ παραχθήσῃ. Ἂν παιδίον σαυτῷ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ αὐτοῦ οὐ παραχθήσῃ.

ΚΕΦ. 9.

Ὅταν ἄψασθαί τινος ἔργου μέλλῃς, ἐπεμιμνήσκου σεαυτὸν, ἀποῖόν ἐστι τὸ ἔργον. Ἐὰν λουόμενος ἀπίῃς, προβάλλου σεαυτῷ τὰ γυμνάσια ἐν βαλανείῳ· τοὺς ἀποῤῥαίνοντας, τοὺς ἐκχυνομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ ὅτως ἀσφαλέστερον ἄψῃ τοῦ ἔργου, ἐὰν προλέγῃς, ὅτι εὐθὺς λούσασθαι θέλω, καὶ τηρῶ ἐμαυτὸν προαίρεσιν [1] κατὰ φύσιν ἔχουσαν τηρῆσαι. Καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου.

1 κατὰ φύσιν, probum, ſanum conſilium, philoſophandi.

Οὕτω γὰρ, ἂν τι πρὸς τὸ λύσασθαι γένῃ ἐμποδών, προχειρον ἔσῃ, [2] διότι οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τἆλλα ἑμαυτῷ περαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. Οὐ τηρήσω δὲ, ἐὰν ἀγαναχτῶ πρὸς τὰ γινόμενα.

2 διότι. Repete, μὴ ἐμποδών ἐστι, non impedior, propterea quod non hoc mihi tantùm volui.

ΚΕΦ. ιο.

Ταράττει τὺς ἀνθρώπυς, οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα· οἷον, θάνα-

τος ὐδὲν δεινὸν, [1] ἐπεὶ κὴ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, ὅτι δεινὸν, ἐκεῖνο τὸ δεινὸν ἐστιν. Ὅταν οὖν ἐμποδίζώμεθα, ἢ ταραττώμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τουτέστι τὰ ἑαυτῶν δόγματα. Ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν· ἐφ' οἷς αὐτὸς [2] πράσσει κακῶς· ἠρχμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, [3] τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ.

1 ἐπεὶ κὴ, nam et.

2 πράσσει κακῶς, infelix est.

3 μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ, quia nunquam miser est.

ΚΕΦ. ΙΓ.

ΕΠΙ μηδενὶ ἑαυτῆς ἀλλοτρίῳ προτερήματι. Εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ἄν, ὅτι, καλός εἰμι, οἰσὸν ἂν ἦν· σὺ δὲ ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι, ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. Τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν· ὥστε, ὅταν εὖ χρήσει φαντασιῶν [1] κατὰ φύσιν χρῇς, τότε μὲν καὶ ἐπαρθήσῃ. Τότε γὰρ ὅτι σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

1 κατὰ φύσιν χρῇς, recte te geras.

ΚΕΦ. 12.

ΚΑθάπερ ἐν λιμένι, ἢ πλοίῳ καθορμισθέντος, ἂν ἐξέλθῃς ὑδρεύσασθαι, ὁδὸν μὲν παρεργόν ἐστι· καὶ κοχλίδιον ἀναλέξασθαι, ἢ βολβάριον· τερπάσθαι δὲ δεῖ πρὸς ἀφ' ἑαυτὸν ὅτι τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι, μήποτε σε ὁ κυβερνήτης καλέσῃ· κἂν καλέσῃ, πάντα σκεύη ἀφιέναι, ἵνα μὴ δεδεμένῳ ἐμβληθῇς, ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν δοθῇ σοι ἀντὶ βολβαρίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύ-

1 καὶ κοχλίδιον, insuper.

σά· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖνα πάντα, μηδὲν ὑπιστρεφόμενος· ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῆς ποτε τοῦ πλοίου μακρόθεν, μήποτε καλοῦντος ἐλλίπῃς.

2 καλοῦντος, ne forte abeas, deseras navem, eo ipso momento, quo vocaturus sit.

ΚΕΦ. ΙΓ.

ΜΗ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· ἀλλὰ θέλε γίνεσθαι τὰ γινόμενα ὡς γίνεται, καὶ εὖ ποιήσεις. Νόσος, σώματός ἐστιν

1 εὖ ποιήσεις, beatus eris.

ἐμπόδιον.[2] προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. Χώλωσις, σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ· καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμποδιόντων σὺ λέγε. Εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.

2 προαιρέσεως, mentis, voluntatis.

ΚΕΦ. 14.

ΕΦ' ἑκάστου τῶν προσπιπτόντων, μέμνησο ἐπιστρέφειν ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. Ἐὰν καλὸν ἴδῃς ἢ καλὴν, εὑρήσεις δύναμιν πρὸς

ταῦτα ἐγκράτειαν· ἐὰν πόνῳ προσφέρηται, εὐεξίας χαρτερίαν· ἐν λοιδορίᾳ, εὐεξίας ἀνεξικακίαν. Καὶ οὕτως ἐθιζόμενόν σε δυνήσεται οὐ φαντασία.

ΚΕΦ. 15.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. Τὸ χωρίον ἀφῃρέθη; δεκτὸν ἦν καὶ τοῦτο ἀπεδόθη; Ἀλλὰ κακὸς ὁ ἀφελόμενος. Τί δέ σοι μέλει, διὰ

τὴν σε ὁ δὺς ἀπήτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίῳ μὴ ὀπιμελῶ, ὡς τοῦ παιδαγωγεῖν οἱ παρόντες.

ΚΕΦ. 16.

ΕΙ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους λογισμούς· ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐκ ἔξω λατροφάς· ἐὰν μὴ κολάσω τὸν [1]παῖδα, πονηρὸς ἔσται. Κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταραττόμενον· κρεῖττον ὁ τοῦ παῖδα κακὸν εἶναι, ἢ σε [2]κακοδαίμονα.

1 παῖδα, ſervum, vernam.
2 κακοδαίμονα, inſanum, furioſum.

ΚΕΦ. 17.

Ἀρξαι τοιγαρῦν ἀπὸ τῶν μικρῶν. Ἐκχεῖται τὸ ἐλάδιον; κλέπται οἰνάριον; Εἰπὲ, ὅτι, [1] τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν γίνεται. Ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται [2] μὴ ὑπακοῦσαι· [3] καὶ ὑπακούσας, μηδὲν ποιῆσαι ὧν θέλεις. Καὶ οὐχ οὕτως ἔστω αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ, τό σε παραχθῆναι.

1 τοσούτου, tantillo.
2 μὴ ὑπακοῦσαι, eſt ut non reſponſet.
3 καὶ ὑπακούσας, etſi vocatus reſponderit.

ΚΕΦ. 18.

ΕΙ προκόψαι θέλεις, ἀφόμενον [1] ἕνεκα τοῦ ἐκτὸς, ἄνες δόξαι καὶ ἠλίθιος. Μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. Κἂν δόξῃς τισὶν εἶναί τις, ἀπίστει σεαυτῷ. Ἴσθι γὰρ, ὅτι οὐ ῥάδιον, καὶ τὴν [2] προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι, καὶ τὰ ἐκτός· ἀλλὰ τὸ ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι, πᾶσα ἀνάγκη.

1 ἕνεκα τοῦ ἐκτὸς, a, ab, quod ad externa.
2 προαίρεσιν, mentem, consilium.

ΚΕΦ. 19.

ΑΝ θέλῃς τὰ τέκνα σου, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους σε πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ὄντα σοι θέλεις ὄντα σοι εἶναι, καὶ τὰ ἀλλότρια, σὰ εἶναι. Οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ [1] τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. Ἂν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, [2] τοῦτο δύνασαι. Τοῦτο ἔν ἄσκει, ὃ δύνασαι.

1 τὴν κακίαν, malam indolem.

2 τοῦτο δύνασαι, potest ut *non gestias* habere.

ΚΕΦ. 20.

Κυριώτατον ἁπάντων ἐστὶν ὁ τῶν ἐκείνων θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν, εἰς τὸ ὠφελῆσαι, ἢ ἀφελέσθαι. Ὅστις οὖν ἐλεύθερον εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις. Εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη.

ΚΕΦ. 21.

Μέμνησο, ὅτι, ὡς ἐν συμποσίῳ, δεῖ σε ἀναστρέφεσθαι. Περιφερόμενον γέγονέ τι κατά σε; ἐκτείνας

τὴν χεῖρα, κοσμίως μετάλαβε. Παρ-
έρχεται; μὴ κάτεχε. Οὔπω ἥκει;
μὴ ὄπτα πόρρω τὴν ὄρεξιν, ἀλλὰ
σύμμενε μέχρις ἂν γένηται κατά
σε. Οὕτω πρὸς τέκνα, οὕτω πρὸς
γυναῖκα, οὕτω πρὸς ἀρχὰς, οὕτω
πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῆς
θεῶν συμπότης. Ἂν δὲ καὶ [1] παρατε-
θέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς,
τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ,
ἀλλὰ καὶ [2] συνάρχων. Οὕτω γὰρ
ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ

1 παρατιθέντων, fercula varia, lauta, arte ſtructa et oppoſita.

2 συνάρχων, conſors imperii.

οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο.

ΚΕΦ. 22.

Ὅταν κλαίονται ἴδης τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντα τέκνα, ἢ [1] ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε, μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ, τοῖς ἐκτός· ἀλλ' αὐτὺς [2] διαίρει πρὸς σεαυτῷ, καὶ λέγειν ἔσω πρόχειρον, ὅτι τοῦτον θλίβει, οὐ τὸ συμβεβηκὸς, (ἄλλον

1 ἀπολωλεκότα τὰ ἑαυτοῦ, cum patrimonio exhausto.

2 διαίρει, tecum disputa, dijudica.

γὰρ οὐ θλίβει) ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. Μέχει μοί τοι λόγου μὴ ὄκνει [3] συμπροφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, συνεπισπάσαι· πρόσεχε μοί τοι, μὴ καὶ [4] ἔσωθεν συνεπισπάσῃς.

3 συμπροφέρεσθαι, quasi ex eodem poculo bibere, morigerum esse.

4 ἔσωθεν, ne persidat altiùs ad vivum.

ΚΕΦ. 23.

Μέμνησο, ὅτι ὑποκριτὴς εἶ [1] δράματος, οἵου ἂν θέλῃ ὁ [2] διδάσκαλος. Ἂν βραχύ, βραχέος·

1 δράματος, Partium 1rum, 2rum, 3rum.

2 ὁ διδάσκαλος, Poeta, qui docet fabulam.

ἂν μακρὸν, μακρύ. Ἂν πλωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλὸν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκείνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτὸ, ἄλλου.

ΚΕΦ. 24.

Κόραξ ὅταν μὴ αἴσιον κράξῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία, ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι τούτων ἐμοὶ οὐδὲν ἀποσημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ

μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί· ἐμοὶ δὲ πάντα ἄϊσα σημαίνεται, ἐὰν ἐγὼ θέλω. Ὅ, τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτοῦ.

ΚΕΦ. 25.

ΑΝίκητος εἶναι δυύσασθαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ἓν ᾧ οὐκ ἔστιν ὅπου σοι μιχθῆναι.

ΚΕΦ. 26.

ΟΡΑ μήποτε ἰδών τινα προπεμώμενον, ἢ μεγαλοδυναμούμενον, ἢ ἄλλως δόξοχιμῶντα, μαχαιρίσης, ὑπὸ τ φαντασίας συναρπασθείς. Ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν [1] ἡ ὑσία τ ἀπαθὴς ᾖ, ὅτε ὁ φθόνος ὅτε ζηλοτυπία χώραν ἕξει. Σὺ γὰρ αὐτὸς ὁ στρατηγὸς, ὁ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. Μία γὰρ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τ ὐκ ἐφ' ἡμῖν.

1 ἡ ὑσία τ ἀπαθὴς, i. e. ἀπάθεια.

ΚΕΦ. 27.

ΜΕμνησο, ὅτι οὐχ ὁ λοιδορῶν ἢ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. Ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθισε. Τοιγαροῦν ἐν πρώτοις πειρῶ ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι. Ἂν γὰρ ἅπαξ χρόνου καὶ [1] διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

1 διατριβῆς, moræ, et uſûs, et ſtudii.

ΚΕΦ. 28.

Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος. Καὶ ὐδὲν ὐδέποτε ταπεινὸν ἐνθυμηθήσῃ, ὔτε ἄγαν ἐπιθυμήσεις τινός.

ΚΕΦ. 29.

Φιλοσοφίας ἐπιθυμεῖς; παρασκευάζου αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρόντων, ὅτι, ἄφνω φιλόσοφος ἡμῖν [1] ἐπανελήλυθε, καὶ,

1 ἐπανελήλυθε, rediit ad nos ſtatim factus philoſophus, bene barbatus.

πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρυᾶ μὲν μὴ σχῇς· τὸ δὲ βελτίσων σοι φαινομένων ἕτως ἔχε, ὡς ὑπὸ θεῷ τεταγμένῳ εἰς ταύτην τὴν τάξιν. Μέμνησο δ', ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σε πρότερον, ὕστοί σε ὕστερον θαυμάσουσιν· ἐὰν δ' ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

ΚΕΦ. 30.

ΕΑΝ ποτέ σοι γένηται [1] ἔξω στραφῆναι, πρὸς τὸ βουληθῆναι ἀρέσαι τινὶ, ἴσθι ὅτι [2] ἀπώλεσας τὴν ἕν-

1 ἔξω στραφῆναι, deflectere de semita.
2 ἀπώλεσας τὴν ἕνσασιν, de gradu dejiceris.

σεσιν. Ἀρχὴ δ' ἂν εἰ παντὶ τῷ φιλόσοφος. Εἰ δὲ μὴ δοκεῖν βούλει, τῷ εἶναι [3] σεαυτῷ φαίνου, καὶ ἱκανὸς ἔσῃ.

3 Ἱκανὸς ἔσῃ, abunde peritus eris, et callens.

ΚΕΦ. 31.

Οὐτοί σε οἱ ἀβάλογισμοὶ μὴ θλιβέτωσαν· ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακὸν, οὐ δυνάσομ ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή τι δ' ἔν τὸ σὸν [1] ἔργον ἐστὶ τὸ ἀρχῆς τυχεῖν, ἢ θεληφθῆναι ἐφ' ἑστίασιν; οὐδαμῶς. Πῶς δ' ἔν ἔτι

1 Ἔργον, officium, an in eo tibi omnia sita?

πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρυᾶ μὲν μὴ σχῇς· τὸ δὲ βέλτιστον σοι φαινόμενον ἕτως ἔχε, ὡς ὑπὸ θεοῦ τεταγμένῳ εἰς ταύτην τὴν τάξιν. Μέμνησο δ', ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σε πρότερον, ὕστερον θαυμάσονσιν· ἐὰν δ' ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

ΚΕΦ. 30.

ΕΑΝ ποτέ σοι γένηται [1] ἔξω στραφῆναι, πρὸς τὸ βουληθῆναι ἀρέσαι τινί, ἴσθι ὅτι [2] ἀπώλεσας τὴν ἕν-

1 ἔξω στραφῆναι, deflectere de femita.
2 ἀπώλεσας τὴν ἕνσασιν, de gradu dejiceris.

σεσιν. Ἀρχὴ δ' ἂν ἐν παντὶ τῷ εἰ φιλόσοφος. Εἰ δὲ ἡ δοκεῖν βούλει, τῷ εἶναι [3] σαυτῷ φαίνου, ἡ ἱκανὸς ἔσῃ.

3 Ἱκανὸς ἔσῃ, abunde peritus eris, et callens.

ΚΕΦ. 31.

Οὗτοί σε οἱ ἀβάλογισμοὶ μὴ θλιβέτωσαν· ἄτιμος ἐγὼ βιώσομαι, καὶ ἀδεὴς ἀδαμῶς. Εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακὸν, ἀ δυνάσομ ἐν κακῷ εἶναι δι' ἄλλον, ἀ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μή πω δ' ἂν τὸ σὸν [1] ἔργον ἐστὶ τὸ ἀρχῆς τυχεῖν, ἢ ἀβαληφθῆναι ἐφ' ἑστίασιν; ἀδαμῶς. Πῶς δ' ἂν ἔτι

1 Ἔργον, officium, an in eo tibi omnia sita?

τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ὑπό σοι, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ; Ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται. Τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι χρυσόν σου ἀργύριον· οὐδὲ πολίται Ρωμαίων αὐτοὺς ποιήσεις. Τίς οὖν σοι εἶπεν, ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ ἃ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δυνάμενος ἑτέρῳ, αὐτὸς μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φασίν, ἵνα κἀμεῖς ἔχωμεν. Εἰ δυνάμενος κτήσασθαι, τηρῶν ἑμαυτὸν αἰδήμονα, κἀ [2]πιστὸν, κὰ μεγαλόφρονα, δείκνυσθε

2 πιστὸν, constantem.

τ' ὁδὸν, καὶ κτήσομαι. Εἰ δ' ἐμὲ ἀξιῶτε τἀγαθὰ τὰ ἐμαυτῦ ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποίησθε, ὁρᾶτε ὑμεῖς, πῶς ἄνισοί ἐστε, καὶ [3] ἀγνώμονες. Τί οὖν βούλεσθε μᾶλλον; ἀργύριον; ἢ φίλον πιστὸν καὶ εὐδήμονα; εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε, καὶ μὴ, δι' ὧν ἀποβαλῶ αὐτὸ, ταῦτά με πεάπειν ἀξιῶτε. Ἀλλ' ἡ παιδεία, ὅσον ἐπ' ἐμοί, φησιν, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν καὶ ταύτην βοήθειαν; σοὰς οὐκ ἔξει λόγχας, ὅτε βαλανεῖα· καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει λόγχας τ' χαλκέας, οὐδ' ὅπλα

3 ἀγνώμονες, importuni.

μὰ τ' σκυτέα. Ἱκανὸν ἦ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ αὑτοῦ ἔργον. Εἰ ἦ ἄλλον τινὰ αὐτῇ καταστησάζες πολίτην πιστὸν καὶ αἰδήμονα, ὠδὲν ἂν αὐτὴν ὠφελες; ναί. Οὐκοῦν ὠδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ. Τίνα οὖν, φησι, χώραν ἔξω ἐν τῇ πόλει; ἐὰν δυνῇ, φυλάττων ἅμα τ' πιστὸν καὶ αἰδήμονα. Εἰ δ' ἐκείνην ὠφελεῖν βουλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

ΚΕΦ. 32.

ΠΡοεπιμήθη σε τὶς ἐν ἐτιάσει, ἢ ἐν πραγματεύσει, ἢ ἐν τῷ πλησθῆναι εἰς [1] συμβολίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακὰ, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες. Μέμνησο δὲ ὅτι ὑ δυνάσαι, μὴ ταυτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τ οὐκ ἐφ' ἐμῖν, ἐκείνων [2] τῶν ἴσων ἀξιῶσ. Πῶς γὰρ ἴσον ἔχειν δυνά-

1 συμβολίαν, conſilium ſecretius.

2 τῶν ἴσων, paria; præmia, vices illorum hominum ferre, qui ſunt in honore, et in oculis omnium, propter officia, quæ nolueris ipſe præſtare.

τας, ὁ μὴ φοιτῶν ὑπὸ ψεύδους πνὸς, τῷ φοιτῶντι; ὁ μὴ ἀπαίδευτον, τῷ ἀπαιδεύτῳ; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; ἄδικος ἂν εἴη καὶ ἄπλους, εἰ μὴ προϊέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βούλοιτο λαμβάνειν. Ἀλλὰ, πόσου πιπράσκονται θεῖδακες; ὀβολοῦ, ἂν ὕτω τύχῃ· ἂν ἔν τις προϊέμενος τὸν ὀβολὸν, λάβῃ θεῖδακας, σὺ ὃ μὴ προϊέμενος μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος· ὡς γὰρ ἐκεῖνος ἔχει θεῖδακας, ὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας. Τὸν αὐτὸν δὴ τρόπον κἀνταῦθα· ὁ προσεκλήθης

ἐφ' ἑτέροις πνος· ὁ γὰρ ἔδωκας τῷ καλοῦντι πόσου πωλεῖ τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. Δὸς οὖν τὸ ἀφ' ἑαυτοῦ, εἶ σοι λυσιτελεῖ τὸ πωλούμενον· εἰ δὲ καὶ κεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ, καὶ ἀβέλτερος. Οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν· τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες, τὸ μὴ ἀναστέναξαι[1] αὐτοῦ ὑπὸ τὴν εἰσόδου.

1 αὐτῦ, heri, domini, regis. Sic αὐτὸς ἔφα, *Ipſe* dixit, i. e. Magiſter. Non præſtolantem ad portam, aut in atrio, ferre Ipſum cunctantem intùs, et nectentem moras.

ΚΕΦ. 33.

ΤΟ βέλημα τ̃ φύσεως καταμαθεῖν ἐστιν ἐξ ὧν ἀλλήλοις διαφερόμεθα πρὸς ἀλλήλους· οἷον, ὅταν τ̃ γείτονος παιδάριον κατεάξῃ τὸ ποτήριον, ἢ ἄλλο τι, πρόχειρόν ἐστιν εὐθὺς λέγειν, ὅτι τ̃ γινομένων ἐστίν. Ἴσθι δ̃ν, ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, οἱονεὶ ὅταν καὶ τὸ τ̃ ἄλλου κατεαγῇ. Οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. Τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; ἀνθρώπινόν ἐστιν οὐδεὶς ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον. Ἀλλ' ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, αὐθὺς, οἴ-

μοι, τάλας ἐγὼ, βοᾷ. Ἐχλῶ δὲ μεμνῆσθαι, τί πάσχομεν, σὲι ἄλλων αὐτὸ ἀκούσαντες.

ΚΕΦ. 34.

Ωσπερ σκοπὸς σὲις τὸ [1] ἀποτυχεῖν ὰ πρέπει, ὕτως ὰδὲ κακῶ φύσις ἐν κόσμω γίνεται. Εἰ μὲν τὸ σῶμά σε ἐπέτρεπέ τις τῷ ἀπαντήσαντι, ὠργανάκτης ἄν. Ὅτι δὲ σὺ τὴν γνώμλιν τὴν σεαυτῦ ὕπτιέπης τῷ τυχόν-

1 πρὸς τὸ ἀποτυχεῖν. Non certe, ſed ut obtutum noſtrum eò figamus, collineantes ita ut res feriatur: ſic ſi res agendas, et tempora rerum, bene obſervemus, et aſſequamur animo, Quod mali eſt non oritur, aut gignitur.

τι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη, ἢ συγχυθῇ, ἐχ αἰσχύνῃ; Τούτου ἕνεκα ἐφ' ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα ἢ τὰ ἀκόλουθα αὐτῷ, ἕως ἔστως ἔρχου ἐπ' αὐτό· εἰ δὲ μή, τῷ μὲν πρώτῳ προθύμως ἥξεις, μηδὲν τῆς ἑξῆς ἐντεθυμημένῳ· ὕστερον δ', ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ.

ΚΕΦ. 35.

Θέλεις ὀλύμπια νικῆσαι· καὶ ἐγὼ μὴ τὰς θεάς· κομψὸν γάρ ἐστιν· ἀλλὰ σκόπει ἢ τὰ καθηγούμενα, ἢ τὰ ἀκόλουθα· ἢ ἕτως ἄπαξ τοῦ ἔργου.

Δεῖ σ' ὀπτεῖν, [1] ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι [2] πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει· μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, [3] ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ προσδεδωκέναι σεαυτὸν τῇ ὑπατίᾳ· εἶτα εἰς τὸν ἀγῶνα παρέρχεσθαι· ἔστι δ' ὅτε, χεῖρα βλαβεῖν, σφυρὸν στρέψαι, πολλὸν [4] ἀφλὸν καταπιεῖν· ἔστ' ὅτε καὶ μαστιγωθῆναι· καὶ μὴν ταῦτα πάντα νικηθῆναι. Ταῦτα

1 ἀναγκοτροφεῖν, parce, frugaliter victitare, intra quod satis est comedere.

2 πρὸς ἀνάγκην, ad imperium magistri.

3 ὡς ἔτυχεν, ut vulgus hominum.

4 ἀφλὸν, pulverem.

ὅπως ἐψάρθω, ἐὰν ἔτι θέλῃς, ἔρχου καὶ τὸ ἀθλεῖν. Εἰ δὲ μὴ, ὡς τὰ παιδία ἀναχωρήσῃ, ἃ νῦν μὲν παλαίστας παίζει, νῦν δὲ αὐλητὰς, νῦν δὲ μονομάχους· εἶτα [5] σαλπίζει, εἶτα [6] τραγῳδεῖ· ἔστω καὶ σύ· νῦν μὲν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος· ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν, ἐὰν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. Οὐ γὰρ μετὰ σπουδῆς ἦλθες ἐπὶ τέχνῃ, [7] οὐδὲ περιεργασάμενος· ἀλλ' εἰκῇ καὶ κατὰ [8] ψυχρὰν ἐπιθυμίαν.

5 σαλπίζει, triumphant, Pœana canunt.
6 τραγῳδεῖ, boant, ejulant, flent.
7 οὐδὲ περιεργασάμενος, re non perveſtigata.
8 ψυχρὰν ridiculam, frigidam, abſurdam.

Οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες ὕστερον τινὸς λέγοντος, ὡς εὖ Σωκράτης λέγει· καὶ, τίς ὕστερον δύναται εἰπεῖν ὡς ἐκεῖνος; θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

ΚΕΦ. 36.

ΑΝθρωπε, πρῶτον ὑπόνοιαν, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δυνάσαι βαστάσαι. Πένταθλον εἰ βούλει ἢ παλαιστής· ὅρα σαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὸν ὀσφῦν

καταμαθὲ· ἄλλος γὰρ ἄλλο πέφυκε. Δοκεῖς, ὅτι ταῦτα ποιῶν, [1]ὡσαύτως δυνάσομαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως [2]δυσαρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πονῆσαι, [3]ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί. Ταῦτα διάσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων, ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν· εἰ δὲ μή, πρόσεχε, μὴ ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης,

1 ὡσαύτως, sic ut cæteri.

2 δυσαρεστεῖν, faſtidire, nauſeare.

3 ἀπὸ τῶν οἰκείων, quibus te aſſueveris.

εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος γένῃ. Ταῦτα ἀσυμφωνεῖ. Ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν ἢ κακὸν εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ αὖ τὰ ἔσω φιλοτεχνεῖν, ἢ τὰ ἔξω· τυτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

4 ἐπίτροπος, rure villicus, in urbe atriensis.

ΚΕΦ. 37.

ΤΑ ἀγόμενα, ὡς ἔπαν, ταῖς σχέσεσι παραμετρεῖται. Πατὴρ ἐστι; ὑπαγορεύεται, ἐπιμελεῖσ-

1 σχέσεσι, relationibus; per necessitudines, per rationes rerum inter se alternantium.

θαι, παρεγχωρεῖν ἅπασιν, ἀνέχεσθαι λοιδορουμένους, πάσχοντας. Ἀλλὰ πατὴρ κακός ἐστι. Μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει οἰκειώσῃς; ἀλλὰ πρὸς πατέρα. Ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν πρὸς αὐτὸν τὴν σαυτοῦ εὐσέβειαν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοι ποιήσαντι κατὰ φύσιν ἡ σὴ ἕξις προαίρεσις. Σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς· τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. Οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς χρείας ἐνίζῃς θεωρεῖν.

ΚΕΦ. 38.

ΤΗΣ περὶ τὰς θεὰς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο καταπεπονῆσθαι, τὸ πείθεσθαι αὐτοῖς, καὶ ἐπὶ πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. Οὕτω γὰρ οὔτε μέμψῃ ποτὲ τοῖς θεοῖς, οὔτε ἐγκαλέσεις ὡς ἀμελοῦσι. [1] Ἄλλως τε, τοῦτο οὐκ οἷόν τε γένεσθαι,

1 ἄλλως τε, repete ἴσθι, præterea vero memineris.

ἐὰν μὴ ἀποστῇς τ' ὄρεξιν ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις ἅψῃ τὸ ἀγαθὸν καὶ τὸ κακόν. Ὡς, ἂν γέ τι ἐκείνων ἐπιλάβῃ ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλῃς, καὶ περιπίπτῃς οἷς μὴ θέλῃς, μέμψασθαί σε καὶ μισεῖν τὰς αἰτίας. Πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δ' ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι καὶ τεθαυμακέναι. Ἀμήχανον οὖν, βλάπτεσθαί τινα οἰόμενον, χαίρειν [2] τῷ δοκοῦντι βλάπτειν. Ὅθεν

2 τῷ δοκοῦντι, Qui videtur.

καὶ τὸ [3]τῇ βλάβῃ χαίρειν ἀδιάφορον· ὅθεν καὶ πατὴρ υἱῷ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι, τῷ παιδὶ μὴ μεταδιδῷ. Καὶ Πολυνείκει καὶ Ἐτεοκλέᾳ τοῦτο πολεμίους ἀλλήλοις ἐποίησε, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. Διὰ τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς θεούς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. [4]Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ

3 τῇ βλάβῃ, malo *Quod* infligitur.

4 Ὅπου γὰρ τὸ συμφέρον, quavis gentium Utile, Eximium, Excellens, bene aut male collocantur, in eadem regione Religio recta, aut prava invenitur.

καὶ τὸ ἀσεβές. Ὥσε ὅσις ἀπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ τοῦ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ τοῦ ἀσεβεῖν ἀπιμελεῖται. Σπένδειν δ', καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοις ποιητέον, καθαρῶς, καὶ μὴ [5] ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδὲ ἐλλιπῶς· μηδὲ ὑπὲρ δύναμιν.

5 ἐπισεσυρμένως, cum oſtentatione et pompa, glorioſe.

ΚΕΦ. 39.

ΟΤΑΝ μαντικὴν ποιήσῃ, μέμνησο, ὅτι τί μὲν ἀποβήσεται οὐκ οἶδας, ἀλλὰ ἦκεις ὡς ἀπὸ τοῦ

μάντεως αὐτὸ πευσόμενος. Ὁποῖον δέ τι ἐστὶν, ἐλήλυθας εἰδὼς, εἴπερ εἶ φιλόσοφος. Εἰ γὰρ ἔστι τι τῶν οὐκ ἐφ' ἡμῖν, πᾶσα ἀνάγκη μήτε ἀγαθὸν αὐτὸ εἶναι, μήτε κακόν. Μὴ φέρε δὴ πρὸς τὰ μάντιν [1] ὄρεξιν, ἢ [2] ἔκκλισιν, μηδὲ τρέμων αὐτῷ πρόσιθι, ἀλλὰ διεγνωκὼς, ὅτι πᾶν τὸ ἀποβησόμενον, ἀδιάφορον, καὶ οὐδέν πρός σε, ὁποῖον δ' ἂν ᾖ· ἔσται γὰρ αὐτῷ χρήσασθαι καλῶς, ὃ τοῦτο οὐδὲν κωλύσει. Θαρρῶν δή, ὡς ὑπὲρ συμβούλου ἔρχου τοῦ θεοῦ· καὶ λοιπὸν, ὅταν τί σοι συμβουλεύσῃ, μέμνησο, τίνας συμβούλους

1 ὄρεξιν, ſpem.
2 ἔκκλισιν, averſationem.

παρέλαβες, καὶ τίνων ἀξιώσεις ἀπειθήσας. Ἔρχου οὖν ὅτι τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τοῦ [3] ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει· καὶ ὅτε ἐκ λόγου, ὅτε ἐκ τέχνης τινὸς [4] ἄλλης ἀφορμαὶ δίδονται πρὸς τὸ σωιδεῖν τὸ προκείμενον. Ὥσε, ὅταν δέῃ συγκινδυνεῦσαι φίλῳ, ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. Καὶ γὰρ ἂν προσείπῃ σοι ὁ μάντις, φανῦλα γεγονέναι τὰ ἱερὰ, δῆλον ὅτι ὁ θάνατος σημαίνεται, ἢ πήρωσις μέρους τοῦ σώματος, ἢ φυγή.

3 ἀναφορὰν, respicit (id quod ignotum est, et obscurum) Exitum.

4 ἄλλης, (idioma) insuper; nec a ratione, nec *præterea*, ex arte ulla.

Ἀλλ' [5]ἔνι λόγος, καὶ σοὶ τούτοις [6]παείσεται, τῷ φίλῳ καὶ πατρίδι συγκινδυνεύειν. Τοιγαροῦν [7]τῷ μείζονι μάντει πρόσεχε τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρεμένῳ τῷ φίλῳ.

5 ἔνι λόγος, subest veritas, recta ratio.

6 καὶ παείσεται, et obversatur animo, ut inter hæc inominata, cum socio, cive, et patria periclitemur.

7 τῷ μείζονι, Divino; τῶν Μειζόνων, i. e. Deorum unus.

ΚΕΦ. 40.

ΤΑξον ποτὲ ἤδη χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξῃς ἐπί τε σεαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

ΚΕΦ. 41.

ΚΑΙ σιωπὴ τὸ πολὺ ἔσω, ἢ λαλείθω [1] τὰ ἀναγκαῖα, καὶ ὀλίγων. Σπανίως δέ ποτε, κατὰ συμβολὴν ὄντος, ἐπὶ τὸ [2] λέγειν τι ἤξομεν· ἀλλὰ μὴ περὶ τοιούτου τῶν τυχόντων· μὴ περὶ μονομάχων, μηδὲ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων, ἢ ποιμάτων, τῶν ἐκάστοτε λεγομένων· μάλιστα δὲ, μὴ περὶ ἀνθρώπων, [3] ψέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες.

1 τὰ ἀναγκαῖα, tantum quæ ſufficiunt.

2 λέγειν, ſermone tractiori.

3 ψέγοντες, Quis enim te adhuc inſipientem, judicem fecerit, aut Cenſorem?

ΚΕΦ. 42.

ΑΝ μὲν ἓν οἷός τε ἦς, μέταγε τοῖς σοῖς λόγοις τὺς τ̃ σιωόντων ἐπὶ τὸ ϖρόσηκον· εἰ δ᾽ ἐν ἀλλοφύλοις [1] ἀπολιφθεὶς τύχοις, σιώπα.

1 ἀπολιφθεὶς, ſocietate tuorum intercluſus, ſi forte verſeris in alio grege.

ΚΕΦ. 43. 44.

ΓΕλως μὴ [1] πολὺς ἔσω, μηδὲ [2] ἐπὶ πολλοῖς, μηδὲ [3] ἀνειμένος.

44. Ορκον παραίτησαι, εἰ μὲν

1 πολὺς, longus.
2 ἐπὶ πολλοῖν, coram multis.
3 ἀνειμένος, laſcivus, jocus amatorius.

οἷόν τε, εἰς ἅπαν· εἰ δὲ μὴ, [4]ἐκ τῶν ἐνόντων.

4 ἐκ τῶν ἐνόντων, *quantum* fieri poteſt.

ΚΕΦ. 45.

Ἔσπάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς ἀφορμάς. Ἐὰν δέ ποτε γένηται καιρὸς, ἐντεταύθα σοι ἡ ἄσκησις, μή ποτε ἄρα ἐπορρυὴς εἰς ἰδιωτισμόν. Ἴσθι γὰρ, ὅτι, ἐὰν ὁ ἑταῖρος ἢ μεμολυσμένος, καὶ τὸν [1]συναναστρεφόμενον ἀνάγκη μολύνεσθαι· καὶ ἐὰν αὐτὸς ὢν τύχῃ καθαρός.

1 συναναστρεφόμενον, conflictantem cum, conflictu corporum, ſordeſcere.

ΚΕΦ. 46.

ΤΑ περὶ τὸ σῶμα μέχρι τῆς χρείας [1] ψυχῆς παραλαμβάνειν, οἷον, τροφὰς, πόμα, ἀμπεχόνιον, οἰκίαν, οἰκετίαν. Τὸ δὲ πρὸς δόξαν ἢ τρυφὴν, ἅπαν περίγραφε.

1 ψυχῆς, vitæ.

ΚΕΦ. 47.

ΠΕΡΙ ἀφροδίσια, [1] εἰς δύναμιν, πρὸ γάμου καθαρευτέον· ἀπομάχῳ δὲ, ὡς νόμιμόν ἐστι,

1 εἰς δύναμιν, ſummis viribus.

μεταληπτέον. Μὴ μέντοι [2] ἐπαχθὴς γίνου τοῖς χεωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτὸς ὐχ ἥκῃ, προφέρε.

2 ἐπαχθὴς, odioſus, importunus.

ΚΕΦ. 48.

ΕΑΝ τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, ὅτι, ἠγνόει γὰρ τὰ ἄλλα πρόσωπα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

ΚΕΦ. 49.

ΕΙΣ τὰ θέατρα τὸ πολὺ παρέναι οὐκ ἀναγκαῖον. Εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ ἀπουδάζων φαίνου, ἢ σεαυτῷ· τουτέστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν [1] νικῶντα· οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. Βοῆς δὲ, καὶ τοῦ [2] ἐπιγελᾶν τινι, ἢ ὅτι πολὺ ἐπικινεῖσθαι, παντελῶς ἀπέχου. Καὶ μετὰ τὸ ἀπαλλαγῆναι, μὴ πολλὰ περὶ τῶν γενομένων λάλει, [3] ὅσα

1 νικῶντα, poetam, vel hiſtrionem.

2 ἐπιγελᾶν τινι, irridere dictum, actionem, hominem.

3 ὅσα μὴ φέρει, tantùm a quibus inſtructior, et melior abeas.

μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν· ἐμφαίνεται γὰρ ἐκ τοιούτου, ὅτι ἐθαύμασας τὴν ὄψιν.

ΚΕΦ. 50.

ΕΙΣ ἀκροάσεις τινῶν μὴ [1]ἴκε, μηδὲ ῥᾳδίως πάρει· [2]παρὼν δὲ, τὸ σεμνὸν, καὶ δόκιμος, καὶ ἄμα εὐπαρόκλητος φύλαττε.

1 ἴκε, i. e. ultrò.

2 παρὼν, i. e. vocatus.

ΚΕΦ. 51.

ΟΤΑΝ τινὶ μελλεις συμβάλλειν, καὶ μάλιστα τ̃ ¹ ἐν ὑπεροχῇ ²δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης, ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις τ̃ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

1 ἐν ὑπεροχῇ, eximie.
2 δοκούντων, clarorum.

ΚΕΦ. 52.

ΟΤΑΝ φοιτᾷς πρός τινα τ̃ μέγα δυναμένων, πρόβαλλε, ὅτι οὐκ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι

ἀπεκλείσθη, ὅτι [1] ἐκτιναχθήσονται σοι αἱ θύραι, ὅτι ὑ [2] φροντιεῖ σοῦ· κἂν σοὶ τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι οὐκ ἐμοὶ τοσοῦτον. Ἰδιωτικὸν γὰρ, καὶ [3] διαβεβλημένου πρὸς τὰ ἐκτός.

1 ἐκτιναχθήσονται, vi et ſtrepitu quatientur in te: præpoſitio ἐκ in compoſitione auget.

2 φροντιεῖ, ſi vult aſpici et conveniri, forte te faſtidierit.

3 διαβεβλημένου, animo hoſtili, et infeſto, quem mordent et vellicant res externæ.

ΚΕΦ. 53.

ΕΝ ταῖς ὁμιλίαις ἀπέστω τὸ τινὰ τ' ἑαυτοῦ ἔργων ἢ κινδυνίων ἢ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. Οὐ

γὰρ, ὡς σοὶ ἤδὺ ἐστι τὸ τῶν σῶν κινδυνεύων μεμνῆσθαι, ὅτω καὶ τοῖς ἄλλοις ἡδὺ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν.

ΚΕΦ. 54.

Ἀπέσω δὲ καὶ τὸ γέλωτα κινεῖν. Ὀλισθηρὸς γὰρ ὁ τόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἐκανὸς τὴν αὐδὼ τὴν πρὸς τῶν πλησίον αἰνέσαι.

ΚΕΦ. 55.

ΕΠισφαλὲς[1] ἐστὶ, καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. Ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν δύνασαι, ἐπίπληττε τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῶσῃ, καὶ ἐρυθριῶσῃ, καὶ συνοφρυουμένῃ, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

1 ἐπισφαλὲς, Locus lubricus et periculosus est.

ΚΕΦ. 56.

ΕΑΝ ἡδονῆς τινος φαντασίαν λάβῃς, καθάπερ ὅτι τ' ἄλλων, φύλαξαι σαυτὸν, μὴ συναρ-

παιδὴς ὑπ' αὐτῆς· ἀλλ' ἐνδέξαίδω σε τὸ πρᾶγμα, καὶ [1] ἀναβολιεῖ τινα τῷδε σεαυτῷ λάβε. Ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεις τ' ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ· καὶ τούτοις [2] ἀντίθες, ὅπως ἀποχόμενος χαιρήσῃς, καὶ ἐπαινέσῃς αὐτὸς σεαυτόν. Ἐὰν δέ σοι [3] καιρὸς φανῇ ἅψασθαι

1 ἀναβολὴν, procraſtinationem; Non hodie; perendino diluculo.

2 ἀντίδις, horæ fruendi, et pœnitendi, tempus hilarum innocentiæ contrapendito.

3 καιρὸς φανῇ, Hoc age, Aut nunc capiendus eſt fructus, aut in poſterum omnino amittendus.

τῷ ἔργῳ, πρόσεχε μὴ νικήσῃ σε τὸ πρόσωπον αὐτοῦ, μηδὲ, καὶ ἐπάγωγον· ἀλλ' ἀντιπάθει, πόσῳ ἄμεινον τὸ σωφρονεῖν σαυτῷ, ταύτην τὴν νίκην νενικηκότι.

ΚΕΦ. 57.

ΟΤΑΝ τὶ, ἀφ' ἑαυτοῦ ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πρᾶττων αὐτὸ, κἂν [1]ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. Εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦ-

1 ἀλλοῖόν τι, monstri aliquid.

γε· εἰ δὲ ὀρθῶς, τί φοβῇ σὺ ἁπλήξοντας ἐκ ὀρθῶς;

ΚΕΦ. 58.

Ὡς τὸ, [1] ἡμέρα ἐστὶ κ᾽ νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλων ἔχει [2] ἀξίαν, ὡς δὲ τὸ

1 ἡμέρα ἐστὶ κ᾽ νύξ ἐστι. Officia hominum conjunctorum, et disjunctorum; unius, et duorum; ſolius, et civium, non paria. *Nox eſt et dies*, affirmatio eſt conjuncta, nullius pretii; quam ſi disjungas, valentem habebis: nam, aut dies eſt, aut nox, eſt probæ monetæ denarius.

2 ἀξίαν, pondus, pretium, honorem, dignationem.

συμπεπλεγμένον ἢ σωπημένον ἀπαξίαν· ὕτω δὲ τῶν προκειμένων τὰ μείζονα ἑλεῖν, πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν, πρὸς ἣν τὸ κοινὸν ἐν ἑστιάσει, οἷον δεῖ, μὴ φυλάσσειν, ἀπαξίαν ἔχει. Ὅταν δὲν σωφρονῇς ἑτέρῳ, μέμνησο, ὃ μόνον τιμᾷ πρὸς τὸ σῶμα ἀξίαν τῶν προκειμένων ὁρᾷν, ἀλλὰ καὶ [3] τιμᾷ πρὸς τὸν ἑστάτορα, οἵαν δεῖ, φυλαχθῆναι.

3 τὴν πρὸς τὸν ἑστάτορα, Memor sis, cave, ut, quicquid agitur in convivio, id pretii, id honesti, quod dabet habere, coram convictoribus et Convivatore (Deo) servaverit.

ΚΕΦ. 59.

ΑΝ ὑπὲρ δ' ὠὰμεν ἀναλάβῃς τὶ πρόσωπον, ἢ ἐν τύτῳ ἡγημόνησας, ἢ, ὃ ἠδυνάσο ἐκπληρῶσαι, παρέλιπες.

ΚΕΦ. 60.

ΕΝ τῷ ἐσθίειν, καθάπερ προσέχεις μὴ βαθῆ ἤλῳ, ἢ στρέψῃς τ' πόδα· ἕτω πρόσεχε, μὴ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτῦ.

1 τὸ ἡγεμονικὸν, cor, mentem animi.

καὶ τοῦτ' ἂν ἐφ' ἑκάστου ἔργου φυλάσσωμεν, ἀσφαλέστερον αἰρήσομεν τὸ ἔργον.

ΚΕΦ. 61.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὑποδήματος. Ἂν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς [1] κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη σε φέρεσθαι. Καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὴν πόδα ὑπερβῇς, γίγνεται [2] κατάχρυσον ὑπόδημα, εἶτα πορφυ-

1 κατὰ κρημνοῦ, incitatè, sine more, et fine.
2 κατάχρυσον, flavus.

ξῦν, εἶτα [3] κεντητόν· ὃ γὰρ ἄπαξ ὑπὲρ τὸ μέτωπον ὁρᾷ ὑδείς ἐστιν.

3 κεντητὸν, variatus, vermiculatus. Color, materies calcei, ſpectatur.

ΚΕΦ. 62.

Αἱ γυναῖκες, αὐτὰς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τ' ἀνδρῶν κύριαι καλοῦνται. Τοιγαροῦν ὁρῶσαι, ὅτι ἄλλο μὲν ὐδὲν [1] αὐταῖς πρόσεστι, μόνον δ' συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. Προσέχειν δὲν ἄξιον, ἵνα αἰσθωνται, διότι

1 αὐταῖς πρόσεστι, non magis quam anteà, quo mereantur hunc titulum.

ἐπ' ἀδενὶ ἄλλῳ τιμῶντας, ἢ τῇ κόσμιας φαίνεσθαι, καὶ αἰδήμονες, [2]ἐν σωφροσυνῃ.

2 ἐν σωφροσυνῃ, ita ſi probæ intus ſint, et in animo.

ΚΕΦ. 63.

Ἀφυΐας σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα, οἷον, [1]ὃτι πολὺ γυμνάζεσθαι, ὅτι πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ [2]ἀποπατεῖν, ὀχεύειν. Ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὸν γνώμιον ἡ πᾶσα ἔστω ὑπηρεσία.

1 ἐπὶ πολὺ, diu.

2 ἀποπατεῖν, ὀχεύειν, alvo, liberis, dare operam.

ΚΕΦ. 64.

ΟΤΑΝ τίς σε κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο, ὅτι [1]καθήκειν αὐτῷ οἰόμενος, ποιεῖ, ἢ λέγει. Οὐχ οἷόν τε δ' ἦν [2]ἀκολουθεῖν αὐτὸν τῷ σοι φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. Ὥστε, εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται, ὅστις καὶ ἐξαπάτηται. Καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ [3]ψεῦδος, ὁ [4]τὸ συμπεπλεγμένον βέ-

1 καθήκειν, officii et muneris sui.
2 ἀκολουθεῖν, percipere.
3 ψεῦδος, Atticè, falsum; ψευδὴς, fallens.
4 τὸ συμπεπλεγμένον, sententia tortuosa, sed vera.

βλαπλαι, ἀλλ' ὁ ἐξαπατηθείς. Ἀπὸ τούτων ὃν ὁρμώμενος, πρᾴως ἔξεις πρὸς τὰ λοιδορούμενα. Ἐπὶ φέρε γὰρ ἐφ' ἑκάστῳ, ὅτι, ἔδοξεν αὐτῷ.

ΚΕΦ. 65.

ΠΑΝ πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. Ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λαμβάνῃς, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβὴ ἐστὶν αὐτοῦ ἀφορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος·

καὶ λήψῃ αὐτὸ, καθ' ὃ φορητόν ἐστιν.

ΚΕΦ. 66.

Οὗτοι οἱ λόγοι [1] ἀσύναχτοι, ἐγώ σε πλουσιώτερός εἰμι, ἐγώ σε ἄφρα χρείαν ων· ἐγώ σε λογιώτερος, ἐγώ σε ἄφρα χρείαν ων. Ἐκεῖνοι δὲ μᾶλλον συναχτικοί· ἐγώ σε πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄφρα κτῆσις τῆς σῆς χρείαν ων· ἐγώ σε λογιώτερος, ἡ ἐμὴ ἄφρα λέξις τῆς σῆς χρείαν ων· σὺ δέ γε ὅτε κτῆσις εἶ, ὅτε λέξις.

1 ἀσύναχτοι, repugnantes, non consequentes.

ΚΕΦ. 67.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. Πίνει τις πολλὰ οἶνον; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύ. Πρὶν γὰρ ἀφαντάσῃ [1] τὸ δόγμα, πόθεν οἶδας εἰ κακῶς; ὅπως ἂν συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας [2] καταληπτικὰς καταλαμβάνειν, ἄλλας δὲ [3] συγκατατίθεσθαι.

1 τὸ δόγμα, Visum, id quod videtur.

2 καταληπτικὰς, perceptiones opinabiles opinari.

3 συγκατατίθεσθαι, pleno assensu prosequi.

ΚΕΦ. 68.

Μηδαμῶς σαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν [1] θεωρημάτων· οἷον, ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλὰ ἔσθιε ὡς δεῖ· μέμνησο γὰρ ὅτι οὕτως ἀφῃρήκει παντάχοθεν Σωκράτης τὸ ἐπιδεικτικόν. Ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συναυλῆναι, καὶ κἀκεῖνος [2] ἀπῆγεν αὐτούς. Οὕτως ἠνείχετο παροράμενος.

1 θεωρημάτων, præceptis.

2 ἀπῆγεν, Ipſe ad magiſtrum deducere ſolebat.

ΚΕΦ. 67.

Λούεταί τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. Πίνει τις πολλὰ οἶνον; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύ. Πεὶν γὰρ ἀναγνῶναι [1] τὸ δόγμα, πόθεν οἶδας εἰ κακῶς; ἔπως ἂν συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας [2] καταληπτικὰς καταλαμβάνειν, ἄλλας δ' [3] συγκαταπίθεσθαι.

1 τὸ δόγμα, Visum, id quod videtur.

2 καταληπτικὰς, perceptiones opinabiles opinari.

3 συγκατατίθεσθαι, pleno assensu prosequi.

ΚΕΦ. 68.

Μηδαμῶς σαυτὸν εἴποις φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν [1] θεωρημάτων· οἷον, ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλὰ ἔσθιε ὡς δεῖ· μέμνησο γὰρ ὅτι οὕτως ἀφηρήκει πανταχόθεν Σωκράτης τὸ ἐπιδεικτικόν. Ἤρχοντο πρὸς αὐτὸν, βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συναυλῆναι, καὶ κἀκεῖνος [2] ἀπῆγεν αὐτούς. Οὕτως ἠνείχετο παροιμιαζομένου.

1 θεωρημάτων, præceptis.

2 ἀπῆγεν, Ipſe ad magiſtrum deducere ſolebat.

ΚΕΦ. 69.

ΩΣΤΕ καὶν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος μὴ θὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. Καὶ ὅταν εἴπῃ σοι τις, ὅτι οὐδὲν οἶδα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι, ὅτι [1] ἄρχεις τοῦ ἔργου. Ἐπεὶ καὶ τὰ σώματα ὁ χόρτον φέροντα τοῖς προβάτοις ὑποδεικνύει πόσον ἔφαγεν· ἀλλὰ τῇ νομῇ ἔνδον πέψαντα, ἔριον ἔξω φέρει, καὶ γάλα. Καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις

1 ἄρχεις τοῦ ἔργου, Coryphœus es, princeps, magister in opere.

ἐπιδείκνυε, ἀλλ', αὐτῶν πεφθέντων, τὰ ἔργα.

ΚΕΦ. 70.

ΟΤΑΝ ἀτελῶς [1]ἡρμοσμένος ἦς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ὅτι τοιοῦτος· μηδ', ἂν ὕδωρ πίνῃς, ἐν πάσῃ ἀφορμῇ λέγε, ὅτι ὕδωρ πίνεις. Κἂν ἀσκῆσαί ποτε [2]πρὸς πόνον θέλεις, σεαυτῷ καὶ μὴ τοῖς ἔξω· μὴ τοὺς ἀνδριάντας περιλάμβανε· ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίπασον ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

1 ἡρμοσμένος, cultus.
2 πρὸς πόνον, uſque ad laborem.

ΚΕΦ. 71.

ΙΔιώτου στάσις καὶ χαρακτὴρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. Φιλοσόφου στάσις καὶ χαρακτὴρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

ΚΕΦ. 72.

ΣΗμεῖα προκόπτοντος· [1] οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν

1 οὐδένα ψέγει, &c. Inceptor artium non Perfector, quinquennium ſuum ſileat: heſterni quippe ſumus, et ignoramus.

περὶ ἑαυτῦ λέγῃ, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι. Ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ. Κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται· οὐδέπω δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν. Ὄρεξιν ἅπασαν ἦρκεν ἀφ' ἑαυτῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ κατὰ φύσιν τὰ ἐφ' ἡμῖν μετατέθεικεν. Ὁρμῇ οὐδὲν ἅπαντα ἀνείμενος χρῆ-

2 τῶν καθισταμένων, quæ in ſtatu ſunt, quieſcentia. Non ſurgit a ſede, non promovet, non plantas humi figit, priuſquam invenerit fulcrum, aut baculum, quo nitatur.

ται. Ἂν ἠλίθιος, ἢ ἀμαθὴς δοκῇ, ὑπερφρόντικε. Ἑνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν φυλάσσει καὶ πίθηλον.

ΚΕΦ. 73.

ΟΤΑΝ τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύηται, λέγε αὐτὸς πρὸς σαυτὸν, ὅτι, εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν ὅτος ἐφ' ᾧ σεμνύηται. Ἐγὼ δὲ τί βούλομαι; Καταμαθεῖν τὴν[1] φύσιν, καὶ

1 τὴν φύσιν, Veritatem, rationem rerum humanarum et Divinarum, hominis et Dei.

ταύτῃ ἔπεσθαι. Ζητῶ ἔν τίς ἐστιν ὁ ἐξηγούμενος; καὶ ἀκούσας ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. Ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα· ζητῶ ἕνα τὸν ἐξηγούμενον. Καὶ μέχρι τούτων οὔπω σεμνὸν ἐδέν. Ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσις τοῖς παρηγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. Ἂν δὲ αὐτὸ τοῦτο τὸ ἐξηγεῖσθαι θαυμάσω, τί ἄλλο ἢ γραμματικὸς ἐπετελέσθην ἀντὶ φιλοσόφου; πλὴν γε δὴ, ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγούμενος. [2] Μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι,

2 μᾶλλον ἕν, potiùs, quam ut glorier.

3 ἐπανάγνωθί μοι Χρύσιππον, ἐυθυμοῦμαι, ὅταν μὴ δυνώμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

3 ἐπανάγνωθί μοι, Redde mihi Græcè, aut Latinè.

ΚΕΦ. 74.

ΟΣΑ [1] προτίθεται, τούτοις, ὡς νόμοις, καὶ ὡς ἀσεβήσων ἂν παραβῇς τι τούτων, [2] ἔμμενε. Ὅ,τι δ' ἂν

1 προτίθεται, quæcunque præcipiuntur ab hiſce Chryſippéis, a ſumma Ratione proficiſcentibus.

2 ἔμμενε, Conſtanter obſerva, tecum habitent; hoc enim Tuum eſt; non item quid de te dixerint alii.

ἐξῇ τις περί σε, μὴ ὑπερέφθε· τοῦτο γὰρ οὐκ ἔτ' ἐπὶ σόν.

ΚΕΦ. 75.

ΕΙΣ ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε [2]συμβάλλειν, καὶ συμβέβληκας· ποῖον ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα

1 τὸν διαιροῦντα λόγον, Syllogiſmum diſcriminantem, bona a malis, et Media ab utriſque: quo concluditur, a præmiſſis et confirmatis, res externas nec amore, nec odio dignandas, ad nos nihil attinere.

2 συμβάλλειν, quibuſcum te habere commercium oportebat, et habuiſti.

εἰς ἐκεῖνον ὑπερθῆς τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτῦ; οὐκ ἔτι εἶ μειρακίιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. Ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς, προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλας ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ· [3] λήσεις σεαυτὸν ἀπρακτήσας, ἀλλ' ἰδιώτης ἀφ' ἑτέρου καὶ ζῶν καὶ ἀποθνήσκων. Ἤδη οὖν ἀξίωσον σεαυτὸν βιῶν [4] ὡς τέλειον καὶ προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαραίβατος. Κἂν ἐπίπονόν τι, ἢ ἡδύ, ἢ

3 λήσεις σεαυτὸν, clam te, non-promoveris.
4 ὡς τέλειον, ut adultum, ætatis integræ.

ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο, ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι· καὶ ὅτι [5] παρὰ μίαν ἡμέραν καὶ ἔνδοσιν ἢ ἀπόλυται προκοπὴ, ἢ σώζεται. Σωκράτης ἄτως ἀπετελέσθη, ὃς πάντων [6] προσάγων ἑαυτὸν, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. Σὺ δ', εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶν βουλόμενος, ὀφείλεις βιῶν.

5 παρὰ μίαν, propter unam cladem, aut ſi ſemel tantùm remittes in officio, proceſſus ſtudiorum tui aut perierint, aut incolumes futuri ſunt.

6 προσάγων, ſtimulans, calcar ſibi admovens.

ΚΕΦ. 76.

ΠΡΩΤΟΣ καὶ ἀναγκαιότατος τόπος ἐν φιλοσοφίᾳ, [1] ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, ὁ μὴ ψεύδεσθαι. Δεύτερος, [2] ὁ τῶν ἀποδείξεων· οἷον, [3] πόθεν ἢ δεῖ ψεύδεσθαι. Τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικὸς καὶ [4] διαρθρωτικός· οἷον, πόθεν

1 ὁ τῆς χρήσεως, De Officiis; cum a contemplatione præceptorum, ad uſum eorum, et ad agendum deſcenditur.

2 ὁ τῶν ἀποδείξεων, De Syllogiſmis Demonſtrantibus.

3 πόθεν ἢ δεῖ, quibus modis poſſumus non falli, errare, decipi.

4 διαρθρωτικός, ars formandi, figurandi, fingendi, materiam ſyllogiſmi, aut demonſtrationis; quo partes ita diſponuntur, ut Singulæ ſe mutuò illuſtrent, et Univerſæ, pulcræ et invictæ eſſe videantur.

ὅτι τοῦτο ἀπόδειξις· [5] τί γάρ ἐστιν ἀπόδειξις· τί ἀκολουθία· τί [6] μάχη· τί ἀληθές· τί ψεῦδος. Οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος λέγεται δεύτερον, ὁ δὲ δεύτερος λέγεται πρῶτον· ὁ δὲ ἀναγκαιότατος, ἐν ὅτῳ ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. Ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν· ἐν γὰρ τῷ τρίτῳ τόπῳ λέγομεν, ἐν περὶ ἐκείνου ἐστὶν ἡμῖν ἡ πᾶσα σπουδή· ὃ δὲ πρῶτον παντελῶς ἀμελοῦμεν. Τοιγαροῦν ψαύομεν μόνον· πῶς δὲ ἀποδείκνυται, ὅτι ὃ δεῖ ψεύδεσθαι, σκότος ἔχομεν.

5. τί γάρ ἐστιν ἀπόδειξις, &c. ante hæc verba ſubaudi, *Quippe hic locus docet.*

6 μάχη, Repugnantia.

ΚΕΦ. 77.

[1]Ἐπὶ παντὸς προχείρου ταῦτα δ' ἀνακτέον·

[2]Ἄγε δή με, [2]ὦ Ζεῦ, καὶ σὺ [3]ἡ πεπρωμένη,

Ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος.

Ὡς ἕψομαι ἀσυδάλως ἤδη, κἂν [5]ἄλογος·

1 Ἐπὶ παντὸς Προχείρου, præ, ſuper, ante omne quod dici et promi poteſt. Προχειρον Epicteti, eſt brevis ſententia, concluſiuncula, effatum utile, promptum et in manibus.

2 ὦ Ζεῦ, O Pater Spirituum! Animorum! verè Viventium! nam Vivere eſt Cogitare. ὦ Ζεῦ, O Bone! Qui et Ζὴν, ἀπὸ τοῦ ζῆν, vivificare.

3 Καὶ σὺ ἡ πεπρωμένη, i. e. Μοῖρα· Natura, Lex neceſſariò agendi; ſeu, ſi propriè loquamur, patiendi, rebus inanimis impoſita, a Summo Rectore Univerſi, et Finiti: nam nihil, niſi Ὁ Ὢν, Immenſum eſt.

Ἐὰν δὲ μὴ ἐθέλω, [6] οὐχ ἧττον ἕψομαι.

Ὅσις δ' ἀναγκὴ συνεκεχώρηκεν καλῶς, Σοφὸς παρ' ἡμῖν, καὶ [7] τὰ Θεῖ' ἐπίσταται.

Verſus nunc ſunt, ut olim fuerunt, omnes Iambici.

4 ὡς ἤδη, ſic demum.

5 ἄοκνος in ſecunda ſyllaba corripitur, liquida ſequente mutam.

6 οὐχ ἧττον ἕψομαι. Haud minus auferar tamen, obtorto licet collo. Olim cum quenquam vi, et renitentem, in carcerem abducere volebant, moris erat rapienti, togam aut ſuam, aut abducti, faucibus captivi *obtorquere*, itaque *ſubfocatum* ſecum ducere. Plutarch.

7 τὰ Θεῖ' i. e. τὸν Θεῖον. Nomen id Colendum, Quod nos hodie in jocis ſæpenumerò, et in ſeriis Sermonibus ſæpiùs, quam ſatis eſt, uſurpamus, Veteres olim, non niſi per circumlocutionem, et rarò, nuncupabant.

ΚΕΦ. 78.

Ἀλλὰ[1] καὶ τὸ τρίτον[2] ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω. Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δυνήσονται, βλάψαι δ' οὔ.

1 Ἀλλὰ, Age, Heus!

2 τὸ Τρίτον, tertium cyathum, et ſupremum, Jovi Statori; litemus, finem faciamus, et abeamus: hoc demum, per illuſtre exemplum intellecto, Virtutem, auſpice Statore, ſemper et ubique rebus humanis dominari. Nam

—— fragili quærens illidere dentem,
Offendet ſolido: niſi quid tu, docte Trebati,
Diſſentis.

FINIS.

Δηοῖ δ' ὐκ ἀπὸ παντὸς ὕδωρ φορέουσι Μέλισσαι·
Αλλ', ἥτις καθαρή τε ϗ ἀχράαντος, ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
Χαῖρε, ἄναξ· ὁ δὲ Μῶμος, ἵν' ὁ φθόνος, ἔνθα νέοιτο.

Callimachus in Apoll.

Callimachus in Apoll.